**Storia della Lingua Greca - Laurea Specialistica – 6.11.2006**

**1. Gal. *Plac.* VII 3,2 (V 600s. K.)**

δέδεικται μὲν γὰρ ὡς ἡ τοῦ γεγεννημένου ζῴου διοίκησις ὑπὸ τριῶν ἀρχῶν γίνεται, μιᾶς μὲν τῆς ἐν τῇ κεφαλῇ κατῳκισμένης ἧς ἔργα καθ’ ἑαυτὴν μὲν ἥ τε φαντασία καὶ ἡ μνήμη καὶ νόησις καὶ διανόησις, ἐν δὲ τῷ πρός τι τῆς τ’ αἰσθήσεως ἡγεῖσθαι τοῖς [τ’] αἰσθανομένοις τοῦ ζῴου μέρεσι καὶ τῆς κινήσεως τοῖς κινουμένοις καθ’ ὁρμήν, ἑτέρας δὲ τῆς ἐν τῇ καρδίᾳ καθιδρυμένης, ἧς ἔργα καθ’ ἑαυτὴν μὲν ὁ τόνος ἐστὶ τῆς ψυχῆς καὶ τὸ μόνιμον ἐν οἷς ἂν ὁ λογισμὸς κελεύσῃ καὶ τὸ ἀήττητον, κατὰ πάθος δὲ οἷον ζέσις τῆς ἐμφύτου θερμασίας ποθούσης τιμωρήσασθαι τῆς ψυχῆς τηνικαῦτα τὸν ἀδικεῖν δόξαντα, καὶ καλεῖται τὸ τοιοῦτον θυμός, ἐν δὲ τῷ πρός τι θερμασίας ἀρχὴ τοῖς κατὰ μέρος εἶναι μορίοις ἀρτηρίαις τε κινήσεως σφυγμικῆς· τῆς δ’ ὑπολοίπου δυνάμεως ἐν ἥπατι καθιδρυμένης ἔργα τὰ περὶ τὴν θρέψιν ἅπαντα κατὰ τὸ ζῷον, ὧν μέγιστον μέρος ἐν ἡμῖν τε καὶ πᾶσι τοῖς ἐναίμοις ζῴοις ἐστὶν ἡ τοῦ αἵματος γένεσις.

**Orib. *Coll. med.* 59,6 || 1** γεγεννημένου Gal. : γεγενημ. Orib. || **2** γίνεται Gal. : συνίσταται οἷον Orib. | τῇ non hab. Orib. | ἑαυτὴν Gal. : αὑτὴν Orib. || **3** post μνήμη καὶ, <ἡ ἀνάμνησις, ἐπιστήμη τε καὶ> cum Orib. add. Müller || **4** ἡγεῖσθαι Gal. : προηγ. Orib. | [τ’$^{ii}$] del. Cornarius || **4-5** καὶ–κινουμένοις non hab. Orib. || **5** τῇ et ἧς non hab. Orib. || **6** ὁ τόνος Gal. : οἷον τ. Orib. | τῆς non hab. Orib. || **7** δὲ οἷον Gal. : δ’ <ἡ> οἷον cum Orib. post Müller (δὲ ἡ οἷον) scr. De Lacy || **9** ἀρχὴ Gal. : -ὴν Kalbfleisch, fort. recte || **10** εἶναι del. Müller || **12** μέρος non hab. Orib.

**2. Gal. *Us. part.* IV 13 (III 309s. K.)**

τὸ δ’ ἧπαρ ὅτι μὲν ἀρχὴ τῆς τοιαύτης ἐστὶ δυνάμεως, οἵα καὶ τὰ φυτὰ διοικεῖ, δέδεικται δι’ ἑτέρων, ἀλλὰ καὶ ὡς συνῆφθαι ἐχρῆν αὐτὸ ταῖς ἄλλαις δύο καὶ μὴ παντάπασιν ἀπεσχίσθαι, καθάπερ οὐδ’ ἀλλήλων ἐκεῖναι. τὸ μὲν γὰρ οἷόν τι θρέμμα ἄγριόν ἐστιν, ὥς φησιν ὁ Πλάτων, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴπερ ποτέ τι μέλλοι τὸ θνητὸν ἔσεσθαι γένος· τὸ δὲ λογιζόμενον ὄντως ἐστὶν ἄνθρωπος, ἐν ἐγκεφάλῳ καθιδρυμένον ὑπηρέτην τέ τινα καὶ βοηθὸν ἔχον τὸν θυμὸν ἐπίκουρον ἑαυτῷ κατὰ τοῦδε τοῦ θρέμματος. ὅθεν αὐτὰ διὰ τῶν ἀποφύσεων ὁ δημιουργὸς ἡμῶν συνάψας ἐπαΐειν ἀλλήλων ἐτεχνήσατο.

**3. Gal. *Quod anim.* 11 (IV 814-816 K.)**

οὐκ οὖν ἀναιρετικὸς ὅδ’ ὁ λόγος ἐστὶ τῶν ἐκ φιλοσοφίας καλῶν ἀλλ’ ὑφηγητικός τε καὶ διδασκαλικὸς <καίτοι γ’> ἀγνοούμενος <μέχρι> τινὸς ἐνίοις τῶν φιλοσόφων· οἵ τε γὰρ ἡγούμενοι πάντας ἀνθρώπους ἐπιδεκτικοὺς ἀρετῆς ὑπάρχειν … οἵ τε μηδένα τὴν δικαιοσύνην αἱρεῖσθαι αὐτήν, ἐξ ἡμίσεος ἑκάτεροι τὴν ἀνθρωπίνην ἑωράκασι φύσιν. οὔτε γὰρ ἅπαντες ἐχθροὶ φύονται δικαιοσύνης οὔθ’ ἅπαντες φίλοι, διὰ τὰς κράσεις τῶν σωμάτων ἑκάτεροι τοιοῦτοι γενόμενοι. πῶς οὖν, φασί, δικαίως <ἂν> τις ἐπαινοῖτο καὶ ψέγοιτο καὶ μισοῖτο καὶ φιλοῖτο γενόμενος πονηρὸς ἢ ἀγαθὸς οὐ δι’ ἑαυτὸν ἀλλὰ διὰ τὴν κρᾶσιν, ἣν ἐξ ἄλλων αἰτίων φαίνεται λαμβάνων; ὅτι, φήσομεν, ὑπάρχει τοῦτο πᾶσιν ἡμῖν, ἀσπάζεσθαι μὲν τὸ ἀγαθὸν καὶ προσίεσθαι <καὶ> φιλεῖν, ἀποστρέφεσθαι δὲ καὶ μισεῖν καὶ φεύγειν τὸ κακόν, οὐκέτι προσκεπτομένοις οὔτ’ εἰ γενητόν ἐστιν οὔτ’ εἰ μὴ γενητόν …. τοὺς γοῦν σκορπίους καὶ τὰ φαλάγγια καὶ τὰς ἐχίδνας ἀναιροῦμεν ὑπὸ τῆς φύσεως γεγονότα τοιαῦτα καὶ οὐχ ὑφ’ ἑαυτῶν … εἰκότως

οὖν καὶ τῶν ἀνθρώπων τοὺς πονηροὺς μισοῦμεν οὐ προσλογιζόμενοι τὸ ποιῆσαν αἴτιον αὐτοὺς τοιούτους, ἔμπαλιν δὲ προσιέμεθα καὶ φιλοῦμεν τοὺς ἀγαθούς, εἴτ᾽ ἐκ φύσεως εἴτ᾽ ἐκ παιδείας καὶ διδασκαλίας εἴτ᾽ ἐκ προαιρέσεως καὶ ἀσκήσεως ἐγένοντο τοιοῦτοι. καὶ μέν γε καὶ ἀποκτείνομεν τοὺς ἀνιάτως πονηροὺς διὰ τρεῖς αἰτίας εὐλόγως· ἵνα μήθ᾽ ἡμᾶς ἀδικήσωσι ζῶντες εἰς φόβον τε τοὺς ὁμοίους αὐτοῖς ἐνάγωσιν ὡς κολασθησομένους ἐφ᾽ οἷς ἂν ἀδικήσωσι, καὶ τρίτον ὅτι αὐτοῖς ἐκείνοις ἄμεινόν ἐστι τεθνάναι διεφθαρμένοις οὕτω τὴν ψυχήν [ὡς ἀνίατον ἔχειν τὴν κακίαν], ὡς μηδ᾽ ὑπὸ τῶν Μουσῶν αὐτῶν παιδεύεσθαι, μή τί γ᾽ ὑπὸ Σωκράτους ἢ καὶ Πυθαγόρου βελτιοῦσθαι δύνασθαι.

**4. Hadr. fr. 3 Bl. (*Hist. Aug. Vit. Hadr.* 25,9)**
*et moriens quidem* [scil. *Hadrianus*] *hos versus fecisse dicit<ur>:*

*animula vagula blandula*
*hospes comesque corporis,*
*quo nunc abibis? in loca*
*pallidula rigida nudula*
*nec ut soles dabis iocos!*

*tales autem nec multo*[*s*] *meliores fecit et Graecos*.

|| **(v.) 3** *quo nunc abibis? in loca* I. Mariotti : *quae nunc abibis in loca* P : *quo nunc abibis in loco* Σ, unde *quo … in locos* Hohl | exclamationem aut interrogationem varie apponunt vv. dd.

**5. Marc. Aur. II 17**
τοῦ ἀνθρωπίνου βίου ὁ μὲν χρόνος στιγμή, ἡ δὲ οὐσία ῥέουσα, ἡ δὲ αἴσθησις ἀμυδρά, ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις εὔσηπτος, ἡ δὲ ψυχὴ ῥόμβος, ἡ δὲ τύχη δυστέκμαρτον, ἡ δὲ φήμη ἄκριτον· συνελόντι δὲ εἰπεῖν, πάντα τὰ μὲν τοῦ σώματος ποταμός, τὰ δὲ τῆς ψυχῆς ὄνειρος καὶ τῦφος, ὁ δὲ βίος πόλεμος καὶ ξένου ἐπιδημία, ἡ δὲ ὑστεροφημία λήθη. τί οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον φιλοσοφία· τοῦτο δὲ ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείττονα, μηδὲν εἰκῇ ποιοῦντα μηδὲ διεψευσμένως καὶ μεθ᾽ ὑποκρίσεως, ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι ἢ μὴ ποιῆσαι· ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον ὡς ἐκεῖθέν ποθεν ἐρχόμενα, ὅθεν αὐτὸς ἦλθεν· ἐπὶ πᾶσι δὲ τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα ὡς οὐδὲν ἄλλο ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῷον συγκρίνεται. εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων μεταβολὴν καὶ διάλυσιν; κατὰ φύσιν γάρ· οὐδὲν δὲ κακὸν κατὰ φύσιν.